(Cω.) οὔ μοι δοκεῖc· ἀπειρότερον γοῦν διαλέγει
περὶ ταῦτ᾽· ἀποcτῆναι κελεύειc μ᾽. οὐκέτι
τοῦτ᾽ ἐc]τὶν ἐπ᾽ ἐμοί, τῶι θεῶι δέ.
(Γο.) τοιγαροῦν
οὐδὲ]ν ἀδικεῖc ἡμᾶc, μάτην δὲ κακοπαθεῖc.
(Cω.) οὐκ, εἰ λά]βοιμι τὴν κόρην.
(Γο.) οὐκ ἂν λάβοιc.
]υνα† cυν⟨α⟩κολουθήcαc ἐμοὶ
]παρατηc†· πληcίον γὰρ τὴν νάπην
ἐργάζε]θ̣᾽ ἡμῶν.
(Cω.) πῶc;
(Γο.) λόγον τιν᾽ ἐμβαλῶ
περὶ τοῦ] γάμου ⟨τοῦ⟩ τῆc κόρηc· τὸ τοιοῦτο γὰρ
ἴδοιμι κἂ]ν αὐτὸc γενόμενον ἄcμενοc.
εὐθὺc μαχεῖται πᾶcι, λοιδορούμενοc
εἰc τοὺc βίουc οὓc ζῶcι· cὲ δ᾽ [ἄγοντ᾽ ἂν] ἴδηι
cχολὴν τρυφῶντά τ᾽, οὐδ᾽ ὁρῶν γ᾽ ἀνέξεται.
Cω. νῦν ἔcτ᾽ ἐκεῖ;
(Γο.) μὰ Δί᾽, ἀλλὰ μ[ικρ]ὸν ὕcτερον
ἔξειcιν ἣν εἴωθεν.
(Cω.) ὦ τᾶν, τὴν κόρην
ἄγων μεθ᾽ αὑτοῦ, φήιc;
(Γο.) ὅπωc ἂν τοῦτό γε
τύχηι.